καινοὺς ὁρῶσι καὶ γάμου μεμνημένους.
ΑΧ. οὔπωποτ' ἐμνήστευσα παῖδα σήν, γύναι,
οὐδ' ἐξ Ἀτρειδῶν ἦλθέ μοι λόγος γάμων.
ΚΛ. τί δῆτ' ἂν εἴη; σὺ πάλιν αὖ λόγους ἐμοὺς
θαύμαζ'· ἐμοὶ γὰρ θαύματ' ἐστὶ τὰ παρὰ σοῦ.
ΑΧ. εἴκαζε· κοινόν ἐστιν εἰκάζειν τάδε·
ἄμφω γὰρ οὐ ψευδόμεθα τοῖς λόγοις ἴσως.
ΚΛ. ἀλλ' ἦ πέπονθα δεινά; μνηστεύω γάμους
οὐκ ὄντας, ὡς εἴξασιν· αἰδοῦμαι τάδε.
ΑΧ. ἴσως ἐκερτόμησε κἀμὲ καὶ σέ τις.
ἀλλ' ἀμελίᾳ δὸς αὐτὰ καὶ φαύλως φέρε.
ΚΛ. χαῖρ'· οὐ γὰρ ὀρθοῖς ὄμμασίν σ' ἔτ' εἰσορῶ
ψευδὴς γενομένη καὶ παθοῦσ' ἀνάξια.
ΑΧ. καὶ σοὶ τόδ' ἐστὶν ἐξ ἐμοῦ· πόσιν δὲ σὸν
στείχω ματεύσων τῶνδε δωμάτων ἔσω.
ΘΕ. ὦ ξέν', Αἰακοῦ γένεθλον, μεῖνον, ὦ σέ τοι λέγω,
τὸν θεᾶς γεγῶτα παῖδα, καὶ σέ, τὴν Λήδας κόρην.
ΑΧ. τίς ὁ καλῶν πύλας παροίξας; ὡς τεταρβηκὼς
καλεῖ.
ΘΕ. δοῦλος, οὐχ ἁβρύνομαι τῷδ'· ἡ τύχη γὰρ οὐκ ἐᾷ.
ΑΧ. τίνος; ἐμὸς μὲν οὐχί· χωρὶς τἀμὰ κἀγαμέμνονος.
ΘΕ. τῆσδε τῆς πάροιθεν οἴκων, Τυνδάρεω δόντος πα-
τρός.
ΑΧ. ἕσταμεν· φράζ', εἴ τι χρῄζεις, ὧν μ' ἐπέσχες
οὕνεκα.
ΘΕ. ἦ μόνω παρόντε δῆτα ταῖσδ' ἐφέστατον πύλαις;
ΚΛ. ὡς μόνοις λέγοις ἄν, ἔξω δ' ἐλθὲ βασιλικῶν δόμων.
ΘΕ. ὦ τύχη πρόνοιά θ' ἡμή, σώσαθ' οὓς ἐγὼ θέλω.
ΑΧ. ὁ λόγος ἐς μέλλοντα σώσει χρόνον· ἔχει δ' ὄγ-
κον τινά.
ΚΛ. δεξιᾶς ἕκατι μὴ μέλλ', εἴ τί μοι χρῄζεις λέγειν.
ΘΕ. οἶσθα δῆτά μ' ὅστις ὢν σοὶ καὶ τέκνοις εὔνους
ἔφυν.
ΚΛ. οἶδά σ' ὄντ' ἐγὼ παλαιὸν δωμάτων ἐμῶν λάτριν.
ΘΕ. χὤτι μ' ἐν ταῖς σαῖσι φερναῖς ἔλαβεν Ἀγαμέμ-
νων ἄναξ.